## Danielis Heinsii

### In Aristarchum suum, & Nonnum S. Iohannis Euangelistæ Interpretem.

Βέλγης μὲν γένος εἰμί· τέθηπα δὲ θεῖον Ὅμηρον·
Ἑλλαδικῆς Μούσης ἀρχὸν ὀϊσάμενος.
Χριστιανῶν δ' αὖ θεσμὰ σεβάζομαι· οὐδ' ἄλα δοίην
Οὔτε θεῶν ἄλλων, οὔτε θεηγενέων.
Μύθων δ' ἀντί, τέθηπα μέγαν Λόγον· ἀντὶ δὲ Μουσῶν,
Κείνην τὴν ἱερὴν, βροντῇ εἰσκομένην,
Δαινυμένους βασιλῆος ὁμέστιον· οὐ Διονύσου,
Οὐ Διός, ἀλλὰ θεοῦ μαύτιν ὁμορρόφιου.
Τῶν δὲ φιλαρχαίων πάλιν αὖ πάλιν εὔχομαι εἶναι,
Παντὸς ἀκιβδήλου δεινότατος θεράπων.
Ὑδάτιον προβέβουλα, καθάρσιον, ἔκγονον αἴης,
Νέκταρος οὐρανίων, οὔ τι ἀκηρασίου.
Ξείνης δ' οὐκ ἄγαμαι σεσοφισμένον ἄνθος ἀοιδῆς·
Ἡδὺ μὲν, ἀρχαίης δ' Ἑλλάδος οὐ μετέχον.
Τίς τί μοι οὖν μέμφοιτο; μόνον μὴ χώεο Νόννε,
Ἰλιακὴν Μοῦσαν Νειλιακῆς προφέρειν.

PRO-